τὸν, ἵνα καλὸν ἔργον ἀποδείξωσι. λέγεται καὶ τοῦτο περὶ τῶν περιτεμνόντων τὸν φλοιὸν, ἢ τοὺς κλάδους τῶν δένδρων. καὶ οἱ βυρσοδέψαι, καὶ οἱ σκυτοτόμοι περιαιροῦσι τὰς βύρσας, καὶ περιτέμνουσι τὰ δέρματα, ἵνα τὸ περιττὸν, καὶ ἀνωφελὲς ἅπαν ἀφέλωσιν. εἰ δὲ περιελάσω

A γράψης, ἡ μεταφορὰ εἴη ἂν ἀπὸ τῶν ἐρεσσόντων. λέγομεν δὲ περιαιρεῖν τινος ἀλαζονείαν, καὶ περιαιρεῖν τινα ἀλαζονείας. ἀμφίβολον δὲ πότερον νῦν τὸ σ' ἀλαζονείας ἐστὶν ἀντὶ τοῦ τῆς σου ἀλαζονείας, ἢ τὰς σου ἀλαζονείας, ἢ σὲ τῆς ἀλαζονείας.

Αλ. Υποτεμοῦμαι τὰς ὁδούς σου.
Κλ. Βλέψον εἰς ἔμ' ἀσκαρδάμυκτος.
Αλ. Εν ἀγορᾷ κἀγὼ τέθραμμαι.
Κλ. Διαφορήσω σ', εἴ τι γρύξεις.
Αλ. Κοπροφορήσω σ', εἰ λαλήσεις.
Κλ. Ομολογῶ κλέπτειν, σὺ δ' οὐχί;
Αλ. Νὴ τὸν Ερμῆν τὸν ἀγοραῖον,
Κἀπιορκῶ γε βλεπόντων.
Κλ. Αλλότρια τοίνυν σοφίζει,
Καί σε φανῶ τοῖς Πρυτάνεσιν,
Αδεκατεύτους τῶν θεῶν ἱερὰς ἔχοντα κοιλίας.

A *Ag. Ego vias tibi obstruam omnes.*
*Cl. Respice huc ad me inconniuenter.*
B *Ag. Et ego sum in foro educatus.*
*Cl. Malè peribus, si quid hiscas.*
*Ag. Malè linêre, si loquaris.*
*Cl. Fateor esse furem: an & tu?*
*Ag. Næ per Mercurium forensem,*
*Peiero, visus licet sim.*
*Cl. Ergo tu alienas sapis res,*
*At referam ego Prytanibus,*
C *Non decimatos te Deûm sacros*
*Poßidere ventriculos.*

Σχόλια. Υποτεμοῦμαι τὰς ὁδούς σου.] οὐκ ἐῶ σε προλέγειν. προλήψομαι. νικήσω. τοῦτο ὡς πρὸς βυρσοδέψην. ὑποτέμνεται γὰρ τὰ δέρματα. ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνῃ, παχύτερον φαίνεται. ἀσθενέστερον δέ ἐστι. τέμνειν δὲ, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς, παχύτητος δόξαν ἐργάζεται. Ασκαρδάμυκτος.] μὴ μύσας τοὺς ὀφθαλμούς. σκαρδαμυκτεῖν γὰρ, τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς. τὸ πυκνῶς βλεφαρίζειν, ὃ καὶ ἰλλωπεῖν λέγεται ἢ ἰλλωπίζειν. ἀσκαρδαμυκτεῖν δὲ προστεθέντος τοῦ α, τὸ ἀτενὲς βλέπειν τὸν ἥλιον. φησὶν οὖν ὅτι ἀτενὲς εἰς ἐμὲ βλέψον ὡς ἐν τούτῳ καταπληξόμενος τὸν ἀλλαντοπώλην. Διαφορήσω σ' εἴ τι γρύξεις.] ἔπαιξε παρὰ τὸ διαφορεῖν. καλῶς δὲ ὡς ἐπὶ μαγείρου καὶ ἀλλαντοποιοῦ κέχρηται. ἄλλως. διασπάσω. διολέσω. χίσω. ἐκφορήσω. ἄλλως τε, καὶ οὐκ ἀρχῆς ὡς τῇ λέξει ἐπὶ μαγείρου καὶ τοῦ ἀλλαντοπώλου. οὗτοι γὰρ τὰ ἔγκατα πλύνοντες, ἐξ ἀνάγκης τῆς ἀπ' αὐτῶν πληροῦνται κόπρου. παρατηρητέον δὲ, ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα. Κοπροφορήσω,] κόπρου σὲ πληρώσω. ἔπαιξε δὲ παρὰ τὸ διαφορήσω σε. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες, ἀναγκαίως πληροῦνται κόπρου. ἄλλως. τὴν κόπρον ἐκφορήσω τύπτων σε. ἢ ὡς βυρσοδέψην. ὅτι κόπρῳ τὰς βύρσας ἐθεράπευεν. Ομολογῶ κλέπτειν.] τοῦτο ἐν ὑπονοίᾳ λέγει. ὡς ἂν εἰ ἔλεγε, σώφρων εἰμὶ καὶ πεπαιδευμένος. ὁ δὲ αὐχεῖ ἐπὶ τῷ κλέπτειν ἃ κλέπτω, ὀμνύω μὴ κεκλοφέναι. ὅ ἐστιν ὑπερβολὴ ἐπιορκίας. Νὴ τὸν Ερμῆν τὸν ἀγοραῖον.] παρασωμένους ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ τῇ ἀγορᾷ ἵδρυται Ερμοῦ ἀγοραίου ἄγαλμα. πλεονεκτεῖν δὲ αὐτὸν πειρᾶται μὴ μόνον κλέπτων, ἀλλὰ καὶ διαρρήδην ἐπιορκῶν. οἷον, ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ἀμφότεροι δὲ ἁμιλλῶνται τίς ἐστιν αὐτῶν χείρων. Κἀπιορκῶ γε βλεπόντων.] οἷον ὁρώντων ὅτι κλέπτων ὀμνύω ὅτι οὐκ ἔκλεψα. τοῦτο δὲ προσέθεικεν ὁ Αγοράκριτος, ὅτι πλεονεκτεῖ ἐκεῖνον, καὶ μᾶλλον πονηρὸς εἶναι δοκεῖ, εἰ οὐ κλέπτει μόνον, ἀλλὰ καὶ φανερῶς ἐπιορκεῖ. Σοφίζει.] τεχνάζῃ. σοφίας γὰρ ἔλεγον τὰς τέχνας. τὰ ἀλλότρια λέγεις φησίν. ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ὡς εἰ ἔλεγε τὰ ἐμὰ τοίνυν κλέπτεις. φανῶ δὲ φανίσω, κατηγορήσω. Αδεκατεύτους τῶν θεῶν] μὴ δεδωκότα ἀπ' αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. ἔθος δὲ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς Πρυτάνεσιν οἱ μάγειροι διδόναι. δέον δὲ εἰπεῖν ἀδεκάτευτον ἔχοντα οὐσίαν, ὁ δὲ ἀντὶ οὐσίας, κοιλίας ἐπήνεγκεν ὡς ἀλλαντοπώλῃ.

Κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ ἐκ κώλων θ'.

Χο. Ω μιαρὲ καὶ βδελυρὲ,
Καὶ κεκράκτα, τοῦ σοῦ θράσους
Πᾶσα μὲν γῆ πλέα,
Πᾶσα δ' ἐκκλησία,
Καὶ τέλη καὶ γραφαὶ,
Καὶ δικαστήρια,
Βορβοροτάραξι, καὶ
Τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς.

F *Ch. O nebulo, digne odio:*
*O clamator: audacia*
*Hac tua omnes plagæ,*
*Concio omnis, tabu-*
*Læ atque portoria,*
*Et tribunalia*
*Plena sunt: ô fimo*
*Qui malè coinquinas*
G *Omnia, & urbem eruis:*

Σχόλια. Ω μιαρὲ καὶ βδελυρέ.] κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ τίθεσθαι μετὰ τὴν διπλῆν. ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις ἐννέα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ὃ καλεῖται δίρρυθμον. τὸ δεύτερον τρίμετρον βραχυκατάληκτον. τοῦ πρώτου ποδὸς κρητικοῦ. τοῦ δὲ δευτέρου βακχείου. τὰ ἑξῆς τέσσαρα ὅμοια τῷ πρώτῳ ἐκ κρητικῶν. τὰ δὲ τούτων ἑξῆς τρία ὅμοια τοῦ δευτέρου ποδὸς κρητικοῦ, ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ στίχων ὁμοίων. ἐπὶ τῷ τέλει παράγραφος. Καὶ τέλη καὶ γραφαί.] τὰ τελώνια καὶ ἀρχαί. τελώνης γὰρ ἦν. καὶ ἐμίσθου τὰ τέλη, τουτέστι τὰ τάγματα.

Ω βορ-